Εἶτα λύζει καὶ δακρύει, καὶ λέγει πρὸς τοὺς φί-
λοις,
Οὗ μ' ἐχρῆν σορὸν πρίασθαι, τοῦτ' ὄφλων ἀπέρ-
χομαι.

A Singultit, lacrymat, queriturque amicis, & dicit gemens:
Quo libitinam oportebat me emere, hoc multatus abeo.

Σχόλια. Αγροικότονον.] πρόθυμοι γὰρ οἱ ἄγροικοι εἰς πᾶσαν πρᾶξιν καὶ εὔτονοι. εἰς γραφὰς δὲ εἰς δικαστήρια, εἰς κατηγορίας. Κωφούς.] ἀφώνους. Ομηρος. κύματι κωφῷ. Παρεξηυλημένους] ἐκ μεταφορᾶς τῶν παλαιῶν αὐλῶν καὶ ἀχρείων. κυρίως γὰρ παρεξηυλεῖσθαι λέγομεν αὐλοὺς, τοὺς τὰς γλωττίας διερρηγμένους. Ασφάλειός ἐστιν.] ἀσφάλειος Ποσειδῶν παρὰ Ἀθηναίοις τιμᾶται παρὰ τὸ καὶ αὐτῇ τειαίνῃ χρῆσθαι καὶ τοὺς γέροντας τῇ βακτηρίᾳ, τοῦτο ἔφη. παρὰ δὲ τὸ παντὶ ποσὶ τὸ Ποσειδῶν πεποίηκε. τιμᾶται δὲ Ποσειδῶν ἀσφάλειος παρ' αὐτοῖς, ἵνα ἀσφαλῶς πλέωσι. Τονθορύζοντες.] λαθραφθεγγόμενοι. ὑποτρέμοντες. τὰ χείλη κινοῦντες. λίθῳ δὲ τῷ βήματι τῷ ἐν τῇ Πνυκὶ δικαστηρίῳ. Τῆς δίκης τὴν ἠλύγην.] οἱ γέροντες ἡμεῖς δηλονότι οὐδὲν ὁρῶντες ἐν τῷ δικαστηρίῳ, εἰ μὴ τὴν σκιὰν τῆς δίκης. ἠλύγη γὰρ τὸ σκότος καὶ ἠλυγισμένον τὸ ἐσκοτισμένον. βαρύνεται δέ. παρὰ τὴν λύγην γάρ, πλεονάζει τὸ η. παρὰ προσδοκίαν δὲ εἶπε τῆς δίκης, δέον εἰπεῖν ἀνθρώπων.

BISETVS. Σ. ἠλύγη, τὸ σκότος τῆς νυκτός. καὶ ἠλυγισμένον, τὸ ἐσκιασμένον.

Σχόλια. Σπουδάσας.] εἰς τὸ βλάψαι τὸν γέροντα.

Ες τάχος παίει.] παίειν λέγουσι τὸ πᾶν ὁτιοῦν συντόμως ποιεῖν. στρογγύλοις δὲ πιθανοῖς καὶ πανούργοις. τὸ δὲ ἐς τάχος, ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς διδασκαλείοις παίδων, ἐφ' ὧν οὕτως ἐλέγετο. ἐς τάχος γράφει. ἐς κάλλος. Σκανδάληθρ' ἱστάς.] διχῶς ἀναγινώσκεται. ὑφ' ἕν. ἵν' ᾖ σκανδαληθριστάς. ἡ ἀπόστροφος ἐν τῷ ρ. ἵν' ᾖ σκανδάληθρα ἱστάς. καὶ ἡ μὲν λέξις πεποίηται. παρὰ τὰ πέτευρα τῶν παγίδων ἀπὸ τοῦ σκάζοντα συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. ὁ δὲ νοῦς. ἀνελκύσας ἀπὸ τοῦ βήματος συνηγόρους ἑαυτῷ καὶ θηρευτὰς τῶν λόγων, ἐρωτᾷ ἡμᾶς. ἄλλως. σκανδάληθρα λέγεται, τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξύλα, εἰς ἃ ἐρείδεται ὅπερ Αρχίλοχος λέγει ῥόπτρον. ἐν ταύτῃ οὖν λέγει ἐρείσματα λόγων καὶ βάρη. τὸ δὲ ὑπερβατὸν οὕτως. κατ' ἀνελκύσας σκανδαληθριστὰς ἐρωτᾷ ἡμᾶς. Ανδρα Τιθωνόν.] ὑπεράγαν γεγηρακότα. ἀπὸ Τιθωνοῦ τοῦ πανουργήσαντος καὶ μεταβληθέντος εἰς τέττιγα. Μαστρύζει.] συνέλκει καὶ συνάγει τὰ χείλη. ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παίδων. ἃ τὸν μαστὸν ἕλκοντα τῷ στόματι, συνάγει τὰ χείλη. Λύζει.] ἐὰν διὰ τοῦ ζ. ὀλολύζει. ἐὰν δὲ χωρὶς τοῦ ζ. ἀλύει. τουτέστιν ἀδημονεῖ. λύζει, ποιὰν φωνὴν τραχεῖαν ἀφίησιν, ἢ λυγμῷ συνέχεται.

ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ
κώλων ια'.

Χο. Ταῦτα πῶς εἰκότα γέροντ' ἀπολέ-
σαι, πολιὸν ἄνδρα, περὶ κλεψύδραν,
Πολλὰ δὴ ξυμπονήσαντα καὶ
Θερμὸν ἀπομορξάμενον,
Ανδρικὸν ἱδρῶτα δὴ καὶ πολύν,
Ανδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν.
Εἶτα Μαραθῶνι μὲν ὅτ' ἦμεν ἐδιώκομεν.
Νῦν δ' ὑπ' ἀνδρῶν πονη-
ρῶν σφόδρα διωκόμεθα,
Κᾆτα προσαλισκόμεθα,
Πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;

ANTODE ET ANTISTROPHE.

CH. HÆc decet prouidum abolere senem,
Vertice nitente, prope clepsydram:
Qui laborauit, & feruido
Tersit aquam ab ore grauem
Sæpenumero, vt virum condecet:
Qui arma radiante Marathone tulit impiger.
Nos quidem alios prius in orbe Marathonio
Persecuti sumus:
Nunc ab alijs premimur,
Et patimur, & capimur:
Et quis homo tentet his obloqui?

Σχόλια. Κλεψύδραν.] ἐν τῷ δικαστηρίῳ ἡ κλεψύδρα ἀγγεῖόν ἐστιν ἔχον μικροτάτην ὀπὴν περὶ τὸν πυθμένα. ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο. πρὸς ὃ ἔλεγον οἱ ῥήτορες. Μαραθῶνι.] λείπει ἡ ἐν, οἷον ἐν Μαραθῶνι. Μαραθῶνι μὲν ὅτ' ἦμεν.] περιεγένοντο γὰρ οἱ Ἀθηναῖοι Περσῶν, ὅτ' ἐμαχέσαντο πρὸς αὐτοὺς ἐν Μαραθῶνι. Υπ' ἀνδρῶν.] τῶν νέων ῥητόρων. διωκόμεθα δὲ κατηγορούμεθα. Κᾆτα προσαλισκόμεθα.] ἀντὶ τοῦ πρὸς τούτοις καταδικαζόμεθα καὶ ζημιούμεθα. Μαρψίας.] οὗτος ὁ Μαρψίας, φιλόνεικος καὶ φλύαρος, καὶ θορυβώδης ῥήτωρ κωμῳδεῖται.

ΑΝΤΕΠΙΡΡΗΜΑ στίχων ις'.

Τετράμετροι Τροχαϊκοί.

Τῷ γὰρ εἰκὸς ἄνδρα κυφὸν, ἡλίκον Θουκυ-
δίδην
Εξολέσθαι συμπλακέντα τῇ Σκυθῶν ἐρη-
μίᾳ.

ANTEPIRRHEMA versuum 16.

Septenarij Trochaici.

IGitur æquum est, vt vir hic incuruus & coætaneus
Intereat Thucydides, in Scythica solitudine,